σὺν τῷ τοῦ θεοῦ ἤρξαμεν. Non est in ms.

incepi, DEO feliciter studiis nostris favente, pr. nonas Octobris CIↃIↃCCXIII. Vitembergae.

Pag. 1 folii 1

Titulus rubro erat scriptus

6

\+ Μιχαήλου Ἀποστόλη τοῦ Βυζαντίου, λόγος ἀντιῤῥητι- (sic)
κὸς πρὸς τὸν διϊσχυρισάμενον τῶν ἑῴων εἶναι τοὺς ἑσπερίους
ἀμείνους τὰ ἐς πᾶσαν φιλοσοφίαν. καὶ δῆθεν μάλιστα
ἀποφηναμένους, καὶ μάλιστά γε τὸν Σκότον, περί τε τοῦ
τρόπου τῆς πρώτης γεννήσεως τοῦ υἱοῦ, περί τε τοῦ τῆς
τοῦ ἁγίου πνεύματος ἐκπορεύσεως:—

quo delendum

Ἐν τῇ ἐκκλησίᾳ διϊσχυρίσω τὴν ἑορτὴν τῶν θεοφανίων,
τοὺς ἑσπερίους τῶν ἐξ Ἀσίας ἀνέκαθέν τε καὶ ἐς ἡμᾶς,
σοφωτέρους ὑπάρχειν τὰ ἐς πᾶσαν φιλοσοφίαν. καὶ δῆθεν
περί τε τοῦ τρόπου τῆς πρώτης γεννήσεως τοῦ υἱοῦ, περί τε
τοῦ τῆς τοῦ ἁγίου πνεύματος ἐκπορεύσεως, ἐκείνων ἄμεινον πο-
λὺ ἀποφηναμένους. καὶ ἁπλῶς εἰπεῖν, περὶ πάντων τῶν
ἐς πᾶσαν τὴν ἔνδον φιλοσοφίαν καὶ θύραθεν. ἐγὼ δ' ἀ-
κριβῶς καὶ μάλα εἰδώς, μηδένα θεολόγον τῶν ἐξ ἀνί-
σχοντος τοῦ ἡλίου, μηδέν τι τοιοῦτον ἐς τόδε τολμήσαν-
τα φάναι, μηδέ γε ἐκείνων αὐτῶν τῶν ἔκθεσμα
διεληλυθότων καὶ ἄθεα, κατὰ τοῦ διῳκηκότος πλεῖστα
ὑπὲρ ἡμῶν, τὴν ἀπόρρητον ἐκείνην καὶ ἀναγκαίαν εὐθέως οἰκονομί-
αν, ὤμην σε δήπου κωμῳδεύεσθαι, νὴ τοὺς λόγους τοὺς ἱερούς,
καὶ τοὺς ἱδρῶτας αὐτῶν, καὶ τοὺς στεφάνους ἔτι τοὺς ἐξ αὐτῶν.
ἐπεὶ δὲ κατ' ἐκείνην τὴν ἡμέραν αὐτήν,
(sic) λυτὸν, ἀπηειμένου καὶ τὸ σῶμα ψυχαγωγῆσαι, μετά γε αὐτίκα τὸ βου-
κεκηρυγμένον τοῦ τε γράφειν τοῦ τε διδάσκειν, τοῖς πόνοις
ἀνεκτησάμην εἴτε λόγον ἔχοντος καὶ συνέσεως, καί τινος ἀνδρὸς
ταγε μᾶλλον οὐδ' οἷοί τε ψεύδεσθαι, καὶ διὰ ταῦ-
φαμένου διδάσκοντα, ταῦτά σοι κείνοις καὶ τὸν νοῦν ἐπ' ἐκκλησί- παρεσκευασμένον,
ἐθαύμασα σοῦ γε καὶ Σκότου καὶ τούτου. τοῦ Σκότου δ' ἴσως
γε οὐκ ἀξίως, ὑφ' ὑμῶν τυχὸν συκοφαντουμένου. τοιαῦτα γὰρ
ἐκεῖνον παρεσκευάσθαι, οἷα περ αὐτὸν αὐτῷ περιάπτετον,
οὐκ ἂν ποθ' οὕτως ἁπλῶς ἠγνόησα τὸν, ἄνδρα περίτιμον καὶ

malim

Pagina hic est in ms. 31. σοφόν
versus cum hoc breviculo videlicet, ordinarie 30. tum